Ephraem Syrus; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite IX



σεως, μόνον δὲ τῷ ἔργῳ τούτῳ, καὶ τῇ πείρᾳ καταμαθεῖν.

Ταῖς τοιαύταις ἀεὶ περὶ κρίσεως ὁ μακάριος συνεχόμενος φαντασίαις, ἔφυγε μὲν τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ· ἐμάκρυνε δὲ φυγαδεύων, ἦ φησι τὰ λόγια, καὶ ηὐλίζετο ἐν τῇ ἐρήμῳ. ἑαυτῷ μόνῳ καὶ Θεῷ προσέχων, κἀκεῖθεν τὰς ἀρετῶν τὰς ἐπιδόσεις δεχόμενος. ᾔδει γὰρ ἀκριβῶς ὡς ἐρημικὴ διαβίωσις τῶν κοσμικῶν μὲν ἐλευθεροῖ τὸν βουλόμενον θορύβων, τῇ ἡσυχίᾳ δὲ συνόμιλον τοῖς ἀγγέλοις ποιεῖ· καὶ ταῖς περὶ Θεοῦ θεωρίαις τὸν νοῦν, ὅσον ἐστὶν ἐφικτὸν, ἀνυψοῖ· ἐκ τόπων δὲ τόπους ἀμείβειν, ὅτε κινοῦν αὐτὸν πνεῦμα, πρὸς οἰκοδομὴν τῶν πολλῶν ᾠκονόμει, οὐκ ἠπείθει, οὐδὲ ἀντέτεινεν· ἦν γὰρ θελήσεσι θείαις πειθήνιος, εἰ καί τις ἄλλος· ἐντεῦθεν τὴν ἐνεγκαμένην, ὡς ὁ θεῖος ἐκεῖνος κελευσθεὶς Ἀβραὰμ, τὴν Ἐδεσσηνῶν κατέλαβε πόλιν· δίκαιον γὰρ οὐκ ἦν ὑπὸ γῆν μέχρι πολλοῦ τὸν ἥλιον κατακρύπτεσθαι· δύο δὲ χάριν αἰτιῶν, τοῦτε τὰ ἐκεῖσε περιπτύξασθαι ἅγια, καὶ πρός γε τούτῳ λογίῳ περιτυχεῖν καὶ καρπὸν γνώσεως, ἢ λαβεῖν, ἢ μεταδοῦναι.

Ἐν οἷς, ὡς ἱστόρηται, τῇ πόλει προσβαλὼν, τήν τε πόλιν ὑπερχόμενος, πόρνῃ τινὶ συναπήντηκεν, ἀνθ' οὗ φιλολόγου ἐπηύχετο προστυχεῖν· ὡς δὲ τῆς προσδοκίας ἕτερον ἦν τὸ φανὲν, θλιβερὸν αὐτῷ ἀπέβη τὸ συναντῆσαν. διὸ καὶ προσατενίσας τῷ πορνιδίῳ, ὡς τῆς ἐλπίδος ψευσθεὶς ἀπήνωτο· ἡ δὲ τοῦτον θεωμένη, προσατενίζοντα ταύτῃ, καὶ αὐτὴ ἐπιμελῶς αὐτὸν βλέπουσα κατεσκόπει· τῇ δὲ ὁ σοφός· λέγε μοι γύναι, τίνος χάριν μικρὸν ἀπατενίζεις μοι; ἡ δὲ ἀκολούθως, ἐγὼ καὶ πρεπόντως· ἐκ σοῦ γὰρ λέλημμαι τοῦ ἀνδρὸς, σὺ δὲ μή με κατασκόπει, τὴν γῆν δὲ μᾶλλον, ἐξ ἧς ἐλήφθης. τοῦτο παρὰ προσδοκίαν ὁ σοφὸς ἐπακούσας, μεγάλης μὲν ὡμολόγει ὠφεληθῆναι. τοῦ Θεοῦ δὲ τὴν ἀκατάληπτον ὑπερεδόξασε δύναμιν, ὃς τὰ τῆς ἐλπίδος καὶ διὰ τῶν παρ' ἐλπίδα χαρίζεσθαι.

Δύσας τε ἐκεῖθεν ἐπὶ τὴν τῆς Καππαδοκίας Καισάρειαν, ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου ὁδηγηθεὶς, τὸν μέγαν κατεῖδεν Βασίλειον, τὸ στόμα τῆς ἐκκλησίας, τὴν τῶν δογμάτων χρυσῆν ἀηδόνα· ὃν θεασάμενος ὁ πρεσβύτης, πολλαῖς καταχαίρειν ἤρξατο εὐφημίαις, διορατικῷ γὰρ τῆς ψυχῆς ὄμματι, περιστερὰν ἀγλαοφανῆ ἐφεζομένην πρὸς τὸν δεξιὸν τούτου ἔβλεπεν ὦμον λόγους αὐτῷ διδασκαλίας χορηγοῦσαν, κἀκεῖνον τούτους διαπορθμευόν-



A deeſſe, niſi ut res ipſa agatur, ac coram fiat.

Cum ergo in talibus de judicio cogitationibus Beatus ipſe ſemper occuparetur, mundum, & quæcumque in eo ſunt, effugit. Procul vero receſſit fugiens, ſicut ſcriptum reperitur, & manſit in ſolitudine, Deo, & ſibi ipſi vacans, indeque virtutum præmia referens. Recte enim jam noverat, eos qui ſolitariam am-
B plectuntur vitam, ex turbulentis ſeculi hujus perturbationibus, atque procellis liberari, & ad quietis tranquillitatiſque portum feliciter pervenire, ubi conſuetudine perfruantur Angelorum; mentibuſque ſublimes, quantum licet, rapi ad contemplationem Dei. Quando porro Spiritus illum commonefaciens, ad multorum ædificationem ſic diſponebat, ut loca mutaret, non reſiſtebat, ſed humi-
C liter obſequebatur: erat enim juſſis, mandatiſque Dei, ſi quis alius, obtemperans. Unde patriam, ſicut magnus ille Abraham, relinquere juſſus, Edeſſenorum urbem petiit: neque enim conveniebat, ut ſub terra diutius ſol occultaretur. Hiſce vero de cauſis eo conceſſit, ut loca ibi ſancta inviſeret, tum ut ſapientem aliquem conveniret virum, ac cognitionis ipſe fructum vel caperet, vel aliis præ-
D beret.

Ad eam igitur dum appuliſſet civitatem, & etiam portam introiret, loco ſapientis viri, quem optarat, ſcortum ſibi obvium habuit: in quod ſpectaculum permoleſtum, cum præter expectationem incidiſſet, tamquam ſpe ſua dejectus, oculos avertebat. At contra improba fœmina defixis in eum oculis inſpiciebat. Cui Ephraem: o mulier, inquit, dic mihi, cur me uſque
E adeo intueris? at illa prompte: Quoniam, inquit, ex te viro ego ſum; tu autem me ne reſpicias quidem, ſed in terram, ex qua ſumptus es, oculos tuos retorque. Quam quidem inſpectatam reſponſionem vehementer ſibi profuiſſe, vir ſanctus ac prudens confitebatur. Quapropter infinitam Dei potentiam laudavit, qui interdum ea, quæ ſperamus, præter ſpem nobis elar-
F gitur.

Inde Cæſaream Cappadociæ divino ductus ſpiritu, cum petiviſſet, ipſum ibi os Eccleſiæ, auream ſcilicet illam doctrinæ luſciniam, Baſilium vidit, atque cognovit: quem ſenex intuitus, multis fauſtis cæpit venerari vocibus. Siquidem perſpicaci mentis oculo conſpexit refulgentem columbam humero ipſius inſidentem dextero, verbaque ſapientiæ ſubminiſtrantem, atque ipſum ea



http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0053
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg